ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Ε πρὸς τὸ Ζ·
καὶ εἰλήφθω τῶν Α Γ Ε ἰσάκις πολλαπλάσια τὰ Η Θ Κ·
τῶν δὲ Β Δ Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια
τὰ Λ Μ Ν· εἰ ἄρα ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει
καὶ τὸ Θ τοῦ Μ, καὶ τὸ Κ τοῦ Ν· καὶ εἰ ἴσον ἴσον, καὶ εἰ ἔλατ-
τον ἔλαττον· ὥστε καὶ εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέ-
χει καὶ τὰ Η Θ Κ τῶν Λ Μ Ν· καὶ εἰ ἴσον ἴσα, καὶ εἰ ἔλατ-
τον ἔλαττον· καί ἐστι τὸ μὲν Η καὶ τὰ Η Θ Κ τοῦ Α καὶ
τῶν Α Γ Ε ἰσάκις πολλαπλάσια, ἐπειδήπερ ἐὰν
ᾖ ὁποσαοῦν μεγέθη ὁποσωνοῦν μεγεθῶν ἴσων
τὸ πλῆθος ἕκαστον ἑκάστου ἰσάκις πολλαπλά-
σιον, ὁσαπλάσιόν ἐστιν ἓν τῶν μεγεθῶν ἑνός,
τοσαυταπλάσια ἔσται καὶ τὰ πάντα τῶν πάντων·
διὰ τὰ αὐτὰ δὴ καὶ τὸ Λ καὶ τὰ Λ Μ Ν
τοῦ Β καὶ τῶν Β Δ Ζ ἰσάκις ἐστὶ πολ-
λαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς
τὸ Β, οὕτως τὰ Α Γ Ε πρὸς τὰ Β Δ Ζ·
ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη ἀ-
νάλογον, ἔσται ὡς ἓν τῶν ἡγουμένων
πρὸς ἓν τῶν ἑπομένων, οὕ-
τως ἅπαντα τὰ ἡγούμενα πρὸς
ἅπαντα τὰ ἑπόμενα· ὅπερ ἔδει δεῖξαι:~



ἐξ ἀναστροφῆς τῶν ὅρων:

ἐὰν ἀνίσ(ων) ἀνίσα ἐτέθη:

ἀτ΄ α΄ [illegible]

ἀτορ:

ιγ Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ
τρίτον πρὸς τέταρτον· τρίτον δὲ πρὸς τέταρτον
μείζονα λόγον ἔχῃ ἢ πέμπτον πρὸς ἕκτον·
καὶ πρῶτον πρὸς δεύτερον μείζονα λόγον ἕξει

ἢ πέμπτον πρὸς ἕκτον· πρῶτον γὰρ τὸ Α πρὸς
δεύτερον τὸ Β τὸν αὐτὸν ἐχέτω λόγον, καὶ τρίτον τὸ Γ
πρὸς τέταρτον τὸ Δ· τρίτον δὲ τὸ Γ πρὸς τέταρτον
τὸ Δ μείζονα λόγον ἐχέτω ἢ πέμπτον τὸ Ε
πρὸς ἕκτον τὸ Ζ· λέγω ὅτι καὶ πρῶτον τὸ Α πρὸς
δεύτερον τὸ Β μείζονα λόγον ἕξει ἢ πέμπτον τὸ
Ε πρὸς ἕκτον τὸ Ζ· ἐπεὶ γὰρ τὸ Γ πρὸς τὸ Δ μείζο-
να λόγον ἔχει ἢ τὸ Ε πρὸς τὸ Ζ, ἔστι τινὰ τῶν μὲν
Γ Ε ἰσάκις πολλαπλάσια, τῶν δὲ Δ Ζ ἄλλα ἃ ἔτυ-
χεν ἰσάκις πολλαπλάσια, καὶ τὸ μὲν τοῦ Γ πολλα-
πλάσιον τοῦ τοῦ Δ πολλαπλασίου ὑπερέχει· τὸ δὲ
τοῦ Ε πολλαπλάσιον τοῦ τοῦ Ζ πολλαπλασίου οὐ-
χ ὑπερέχει· εἰλήφθω καὶ ἔστω τῶν μὲν Γ Ε ἰσάκις
πολλαπλάσια τὰ Η Θ· τῶν δὲ Δ Ζ ἄλλα ἃ ἔτυχεν
ἰσάκις πολλαπλάσια τὰ Κ Λ· ὥστε τὸ μὲν Η τοῦ
Κ ὑπερέχειν, τὸ δὲ Θ τοῦ Λ οὐχ ὑπερέχειν· καὶ ὁσα-
πλάσιον μέν ἐστι τὸ Η τοῦ Γ, τοσαυταπλάσιον ἔστω
καὶ τὸ Μ τοῦ Α· ὁσαπλάσιον δὲ τὸ Κ τοῦ Δ, τοσαυ-
ταπλάσιον ἔστω καὶ τὸ Ν τοῦ Β· καὶ ἐπεί ἐστιν ὡς τὸ Α
πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ· καὶ εἴληπται τῶν μὲν
Α Γ ἰσάκις πολλαπλάσια τὰ Μ Η·
τῶν δὲ Β Δ ἄλλα ἃ ἔτυχεν ἰσάκις
πολλαπλάσια τὰ Ν Κ· εἰ ἄρα
ὑπερέχει τὸ Μ τοῦ Ν, ὑπερέχει
καὶ τὸ Η τοῦ Κ· καὶ εἰ ἴσον ἴσον, καὶ εἰ
ἔλαττον ἔλαττον· ὑπερέχει δὲ



ἐξ ἀναστρ(οφῆς) τῶν ὅρων

[illegible]